eul_wid: jce-aa

Ἀσκληπιάδης ὁ Σάμιος · Asclepiades of Samos

# Epigrams

Ἐπιγράμματα

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινή Koine
**Domain:** Ποίησις Poetry
**Format:** Ἔμμετρος Verse

book 7.1.1 Λύχνε, σὲ γὰρ παρεοῦσα τρὶς ὤμοσεν Ἡράκλεια
book 7.1.2 ἥξειν κοὐχ ἥκει· λύχνε, σὺ δ’, εἰ θεὸς εἶ,
book 7.1.3 τὴν δολίην ἀπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα
book 7.1.4 παίζῃ, ἀποσβεσθεὶς μηκέτι φῶς πάρεχε.
book 64.1.1 Νεῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου,
book 64.1.2 πάντα τὰ πορφύροντ’ ἐν χθονὶ σεῖε νέφη·
book 64.1.3 ἢν γάρ με κτείνῃς, τότε παύσομαι· ἢν δέ μ’ ἀφῇς ζῆν,
book 64.1.4 καὶ διαθεὶς τούτων χείρονα, κωμάσομαι.
book 64.5.1 ἕλκει γάρ μ’ ὁ κρατῶν καὶ σοῦ θεός, ᾧ ποτε πεισθείς,
book 64.5.2 Ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.
book 85.1.1 Φείδῃ παρθενίης. καὶ τί πλέον; οὐ γὰρ ἐς Ἅιδην
book 85.1.2 ἐλθοῦς’ εὑρήσεις τὸν φιλέοντα, κόρη.
book 85.1.3 ἐν ζωοῖσι τὰ τερπνὰ τὰ Κύπριδος· ἐν δ’ Ἀχέροντι
book 85.1.4 ὀστέα καὶ σποδιή, παρθένε, κεισόμεθα.
book 145.1.1 Αὐτοῦ μοι, στέφανοι, παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
book 145.1.2 μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
book 145.1.3 οὓς δακρύοις κατέβρεξα· κάτομβρα γὰρ ὄμματ’ ἐρώντων.
book 145.1.4 ἀλλ’ ὅταν οἰγομένης αὐτὸν ἴδητε θύρης,
book 145.5.1 στάξαθ’ ὑπὲρ κεφαλῆς ἐμὸν ὑετόν, ὡς ἂν ἄμεινον
book 145.5.2 ἡ ξανθή γε κόμη τἀμὰ πίῃ δάκρυα.
book 150.1.1 Ὡμολόγης’ ἥξειν εἰς νύκτα μοι ἡ ’πιβόητος
book 150.1.2 Νικὼ καὶ σεμνὴν ὤμοσε Θεσμοφόρον·
book 150.1.3 κοὐχ ἥκει· φυλακὴ δὲ παροίχεται. ἆρ’ ἐπιορκεῖν
book 150.1.4 ἤθελε; τὸν λύχνον, παῖδες, ἀποσβέσατε.
book 153.1.1 Νικαρέτης τὸ πόθοισι βεβλημένον ἡδὺ πρόσωπον,

book 153.1.2 πυκνὰ δι’ ὑψιλόφων φαινόμενον θυρίδων,
book 153.1.3 αἱ χαροπαὶ Κλεοφῶντος ἐπὶ προθύροισι μάραναν,
book 153.1.4 Κύπρι φίλη, γλυκεροῦ βλέμματος ἀστεροπαί.
book 158.1.1 Ἑρμιόνῃ πιθανῇ ποτ’ ἐγὼ συνέπαιζον ἐχούσῃ
book 158.1.2 ζωνίον ἐξ ἀνθέων ποικίλον, ὦ Παφίη,
book 158.1.3 χρύσεα γράμματ’ ἔχον· „Διόλου,“ δ’ ἐγέγραπτο, „φίλει με
book 158.1.4 καὶ μὴ λυπηθῇς, ἤν τις ἔχῃ μ’ ἕτερος.“
book 161.1.1 Εὐφρὼ καὶ Θαῒς καὶ Βοίδιον, αἱ Διομήδους,
book 161.1.2 Γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
book 161.1.3 Ἄγιν καὶ Κλεοφῶντα καὶ Ἀνταγόρην, ἕν’ ἑκάστη,
book 161.1.4 γυμνούς, ναυηγῶν ἥσσονας, ἐξέβαλον.
book 161.5.1 ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
book 161.5.2 φεύγετε· Σειρήνων αἵδε γὰρ ἐχθρότεραι.
book 162.1.1 Ἡ λαμυρή μ’ ἔτρωσε Φιλαίνιον· εἰ δὲ τὸ τραῦμα
book 162.1.2 μὴ σαφές, ἀλλ’ ὁ πόνος δύεται εἰς ὄνυχα.
book 162.1.3 οἴχομ’, Ἔρωτες, ὄλωλα, διοίχομαι· εἰς γὰρ ἑταίραν
book 162.1.4 νυστάζων ἐπέβην ἠδ’ ἔθιγον γ’ Ἀίδα.
book 164.1.1 Νύξ, σὲ γάρ, οὐκ ἄλλην μαρτύρομαι, οἷά μ’ ὑβρίζει
book 164.1.2 Πυθιὰς ἡ Νικοῦς, οὖσα φιλεξαπάτης.
book 164.1.3 κληθείς, οὐκ ἄκλητος, ἐλήλυθα· ταὐτὰ παθοῦσα
book 164 σοὶ μέμψαιτ’ ἐπ’ ἐμοὶ στᾶσα παρὰ προθύροις.
book 167.1.1 Ὑετὸς ἦν καὶ νὺξ καί, τὸ τρίτον ἄλγος ἔρωτι,
book 167.1.2 οἶνος· καὶ Βορέης ψυχρός, ἐγὼ δὲ μόνος.
book 167.1.3 „Ἀλλ’ ὁ καλὸς Μόσχος πλέον ἴσχυε.“ Καὶ σὺ γὰρ οὕτως
book 167.1.4 ἤλυθες οὐδὲ θύρην πρὸς μίαν ἡσύχασας,
book 167.5 τῇδε τοσοῦτ’ ἐβόησα βεβρεγμένος. ἄχρι τίνος, Ζεῦ;
book 167 Ζεῦ φίλε, σίγησον, καὐτὸς ἐρᾶν ἔμαθες.
book 169.1.1 Ἡδὺ θέρους διψῶντι χιὼν ποτόν, ἡδὺ δὲ ναύταις
book 169.1.2 ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν Στέφανον·
book 169.1.3 ἥδιον δ’, ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
book 169.1.4 χλαῖνα καὶ αἰνῆται Κύπρις ὑπ’ ἀμφοτέρων.
book 181.1.1 Τῶν καρύων ἡμῖν λάβε κώλακας (ἀλλά ποθ’ ἥξει;)
book 181.1.2 καὶ πέντε στεφάνους τῶν ῥοδίνων. —„Τί, τὸ …“ —Πάξ.
book 181.1.3 οὐ φὴς κέρματ’ ἔχειν; διολώλαμεν. οὐ τροχιεῖ τις
book 181.1.4 τὸν Λαπίθην; ληστήν, οὐ θεράποντ’ ἔχομεν.
book 181.5.1 οὐκ ἀδικεῖς; —„Οὐδέν.“ —Φέρε τὸν λόγον· ἐλθὲ λαβοῦσα,
book 181.5.2 Φρύνη, τὰς ψήφους. ὢ μεγάλου κινάδους·
book 181.5.3 πέντ’ οἶνος δραχμῶν, ἀλλᾶς δύο …
book 181.5.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὦτα, λαγώς, σκόμβροι, σησαμίδες, σχάδονες.
αὔριον αὐτὰ καλῶς λογιούμεθα. νῦν δὲ πρὸς Αἴσχραν
τὴν μυρόπωλιν ἰὼν πέντε λάβ’ ἀργυρέας·
εἰπὲ δὲ σημεῖον, Βάκχων ὅτι πέντ’ ἐφίλησεν
ἑξῆς, ὧν κλίνη μάρτυς ἐπεγράφετο.
Εἰς ἀγορὰν βαδίσας, Δημήτριε, τρεῖς παρ’ Ἀμύντου
γλαυκίσκους αἴτει καὶ δέκα φυκίδια
καὶ κυφὰς καρῖδας (ἀριθμήσει δέ σοι αὐτός)
εἴκοσι καὶ τέτορας δεῦρο λαβὼν ἄπιθι.
καὶ παρὰ Θαυβορίου ῥοδίνους ἓξ πρόσλαβε 〈πλοχμοὺσ〉
καὶ Τρυφέραν ταχέως ἐν παρόδῳ κάλεσον.
Νὺξ μακρὴ καὶ χεῖμα, μέσην δ’ ἐπὶ Πλειάδα δύνει,
κἀγὼ πὰρ προθύροις νίσσομαι ὑόμενος,
τρωθεὶς τῆς δολίης κείνης πόθῳ· οὐ γὰρ ἔρωτα
Κύπρις, ἀνιηρὸν δ’ ἐκ πυρὸς ἧκε βέλος.
Αὐτοὶ τὴν ἁπαλὴν Εἰρήνιον εἶδον Ἔρωτες,
Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος, οἷά τε λύγδου
γλυπτήν, παρθενίων βριθομένην χαρίτων,
καὶ πολλοὺς τότε χερσὶν ἐπ’ ἠιθέοισιν ὀιστοὺς
τόξου πορφυρέης ἧκαν ἀφ’ ἁρπεδόνης.
Πορφυρέην μάστιγα καὶ ἡνία σιγαλόεντα
Πλαγγὼν εὐίππων θῆκεν ἐπὶ προθύρων,
νικήσασα κέλητι Φιλαινίδα τὴν πολύχαρμον
ἑσπερινῶν πώλων ἄρτι φρυασσομένων.
Κύπρι φίλη, σὺ δὲ τῇδε πόροις νημερτέα νίκης
δόξαν, ἀείμνηστον τήνδε τιθεῖσα χάριν.
Λυσιδίκη σοί, Κύπρι, τὸν ἱππαστῆρα μύωπα,
χρύσεον εὐκνήμου κέντρον ἔθηκε ποδός,
ᾧ πολὺν ὕπτιον ἵππον ἐγύμνασεν· οὐδέ ποτ’ αὐτῆς
μηρὸς ἐφοινίχθη κοῦφα τινασσομένης·
ἦν γὰρ ἀκέντητος τελεοδρόμος· οὕνεκεν ὅπλον
σοὶ κατὰ μεσσοπύλης χρύσεον ἐκρέμασεν.
Αἱ Σάμιαι Βιττὼ καὶ Νάννιον εἰς Ἀφροδίτης
φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις,
εἰς δ’ ἕτερ’ αὐτομολοῦσιν, ἃ μὴ καλά. δεσπότι Κύπρι,
μίσει τὰς κοίτης τῆς παρὰ σοὶ φυγάδας.
Σήν, Παφίη Κυθέρεια, παρ’ ἠιόν’ εἶδε Κλέανδρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νικοῦν ἐν χαροποῖς κύμασι νηχομένην·
book 209.1.3 καιόμενος δ’ ὑπ’ Ἔρωτος ἐνὶ φρεσὶν ἄνθρακας ὡνὴρ
book 209.1.4 ξηροὺς ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.
book 209.5.1 χὠ μὲν ἐναυάγει γαίης ἔπι, τὴν δὲ θαλάσσης
book 209.5.2 ψαύουσαν πρηεῖς εἴχοσαν αἰγιαλοί.
book 209.5.3 νῦν δ’ ἴσος ἀμφοτέροις φιλίης πόθος· οὐκ ἀτελεῖς γὰρ
book 209.5.4 εὐχαὶ τὰς κείνης εὔξατ’ ἐπ’ ἠιόνος.
book 210.1.1 Τῷ θαλλῷ Διδύμη με συνήρπασεν· ὤμοι, ἐγὼ δὲ
book 210.1.2 τήκομαι ὡς κηρὸς πὰρ πυρί, κάλλος ὁρῶν.
book 210.1.3 εἰ δὲ μέλαινα, τί τοῦτο; καὶ ἄνθρακες· ἀλλ’ ὅτε κείνους
book 210 θάλψωμεν, λάμπους’ ὡς ῥόδεαι κάλυκες.
book 308.1.1 Νικήσας τοὺς παῖδας, ἐπεὶ καλὰ γράμματ’ ἔγραψεν,
book 308.1.2 Κόνναρος ὀγδώκοντ’ ἀστραγάλους ἔλαβεν·
book 308.1.3 κἀμὲ χάριν Μούσαις τὸν κωμικὸν ὧδε Χάρητα,
book 308 πρεσβύτην θορύβῳ θῆκέ με παιδαρίων.
book 11.1.1 Ὁ γλυκὺς Ἠρίννης οὗτος πόνος, οὐχὶ πολὺς μέν,
book 11.1.2 ὡς ἂν παρθενικᾶς ἐννεακαιδεκέτευς,
book 11.1.3 ἀλλ’ ἑτέρων πολλῶν δυνατώτερος· εἰ δ’ Ἀίδας μοι
book 11.1.4 μὴ ταχὺς ἦλθε, τίς ἂν ταλίκον ἔσχ’ ὄνομα;
book 145.1.1 Ἅδ’ ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
book 145.1.2 Αἴαντος τύμβῳ κειρομένα πλοκάμους,
book 145.1.3 θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἰ παρ’ Ἀχαιοῖς
book 145.1.4 ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ δύναται.
book 217.1.1 Ἀρχεάνασσαν ἔχω, τὰν ἐκ Κολοφῶνος ἑταίραν,
book 217.1.2 ἇς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ’ Ἔρως.
book 217.1.3 ἆ νέον ἥβης ἄνθος ἀποδρέψαντες ἐρασταὶ
book 217.1.4 πρωτοβόλου, δι’ ὅσης ἤλθετε πυρκαϊῆς.
book 284.1.1 Ὀκτώ μευ πήχεις ἄπεχε, τρηχεῖα θάλασσα,
book 284.1.2 καὶ κύμαινε βόα θ’, ἡλίκα σοι δύναμις·
book 284.1.3 ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
book 284.1.4 κρήγυον, εὑρήσεις δ’ ὀστέα καὶ σποδιήν.
book 500.1.1 Ὦ παρ’ ἐμὸν στείχων κενὸν ἠρίον, εἶπον, ὁδῖτα,
book 500.1.2 εἰς Χίον εὖτ’ ἂν ἵκῃ, πατρὶ Μελησαγόρῃ,
book 500.1.3 ὡς ἐμὲ μὲν καὶ νῆα καὶ ἐμπορίην κακὸς Εὖρος
book 500.1.4 ὤλεσεν, Εὐίππου δ’ αὐτὸ λέλειπτ’ ὄνομα.
book 63.1.1 Λύδη καὶ γένος εἰμὶ καὶ οὔνομα· τῶν δ’ ἀπὸ Κόδρου
book 63.1.2 σεμνοτέρη πασῶν εἰμι δι’ Ἀντίμαχον.
book 63.1.3 τίς γὰρ ἔμ’ οὐκ ἤεισε; τίς οὐκ ἀνελέξατο Λύδην,
book 63.1.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;
book 64.1.1 Αὐταὶ ποιμαίνοντα μεσαμβρινὰ μῆλά σε Μοῦσαι
book 64.1.2 ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,
book 64.1.3 καί σοι καλλιπέτηλον, ἐρυσσάμεναι περὶ πᾶσαι,
book 64.1.4 ὤρεξαν δάφνας ἱερὸν ἀκρεμόνα,
book 64.5.1 δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ,
book 64.5.2 τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ·
book 64.5.3 οὗ σὺ κορεσσάμενος μακάρων γένος ἔργα τε μολπαῖς
book 64 καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.
book 752.1.1 Εἰμὶ Μέθη τὸ γλύμμα σοφῆς χερός, ἐν δ’ ἀμεθύστῳ
book 752.1.2 γέγλυμμαι· τέχνης δ’ ἡ λίθος ἀλλοτρίη.
book 752.1.3 ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ· ἐν γὰρ ἀνάσσης
book 752.1.4 χειρὶ θεὸν νήφειν καὶ μεθύουσαν ἔδει.
book 36.1.1 Νῦν αἰτεῖς, ὅτε λεπτὸς ὑπὸ κροτάφοισιν ἴουλος
book 36.1.2 ἕρπει καὶ μηροῖς ὀξὺς ἔπεστι χνόος·
book 36.1.3 εἶτα λέγεις· „Ἥδιον ἐμοὶ τόδε.“ καὶ τίς ἂν εἴποι
book 36 κρείσσονας αὐχμηρὰς ἀσταχύων καλάμας;
book 46.1.1 Οὐκ εἴμ’ οὐδ’ ἐτέων δύο κεἴκοσι καὶ κοπιῶ ζῶν.
book 46.1.2 Ὤρωτες, τί κακὸν τοῦτο; τί με φλέγετε;
book 46.1.3 ἢν γὰρ ἐγώ τι πάθω, τί ποιήσετε; δῆλον, Ἔρωτες,
book 46.1.4 ὡς τὸ πάρος παίξεσθ’ ἄφρονες ἀστραγάλοις.
book 50.1.1 Πῖν’, Ἀσκληπιάδη. τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
book 50.1.2 οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληίσατο,
book 50.1.3 οὐδ’ ἐπὶ σοὶ μούνῳ κατεθήξατο τόξα καὶ ἰοὺς
book 50.1.4 πικρὸς Ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
book 50.5.1 πίνωμεν Βάκχου ζωρὸν πόμα· δάκτυλος ἀώς.
book 50.5.2 ἢ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν;
book 50.5.3 πίνομεν· οὐ γὰρ ἔρως· μετά τοι χρόνον οὐκέτι πουλύν,
book 50.5.4 σχέτλιε, τὴν μακρὰν νύκτ’ ἀναπαυσόμεθα.
book 75.1.1 Εἰ πτερά σοι προσέκειτο καὶ ἐν χερὶ τόξα καὶ ἰοί,
book 75.1.2 οὐκ ἂν Ἔρως ἐγράφη Κύπριδος, ἀλλὰ σύ, παῖς.
book 77.1.1 Εἰ καθύπερθε λάβοις χρύσεα πτερὰ καί σευ ἀπ’ ὤμων
book 77.1.2 τείνοιτ’ ἀργυρέων ἰοδόκος φαρέτρη
book 77.1.3 καὶ σταίης παρ’ Ἔρωτα, φίλ’ Ἄγλαον, οὐ μὰ τὸν Ἑρμῆν,
book 77 οὐδ’ αὐτὴ Κύπρις γνώσεται, ὃν τέτοκεν.
book 105.1.1 Μικρὸς Ἔρως ἐκ μητρὸς ἔτ’ εὐθήρατος ἀποπτὰς
book 105.1.2 ἐξ οἴκων ὑψοῦ Δάμιδος οὐ πέτομαι·
book 105.1.3 ἀλλ’ αὐτοῦ, φιλέων τε καὶ ἀζήλωτα φιληθείς,
book 105.1.4

οὐ πολλοῖς, εὐκρὰς δ’ εἷς ἑνὶ συμφέρομαι.
book 135.1.1 Οἶνος ἔρωτος ἔλεγχος· ἐρᾶν ἀρνεύμενον ἡμῖν
book 135.1.2 ἤτασαν αἱ πολλαὶ Νικαγόρην προπόσεις·
book 135.1.3 καὶ γὰρ ἐδάκρυσεν καὶ ἐνύστασε καί τι κατηφὲς
book 135.1.4 ἔβλεπε, χὠ σφιγχθεὶς οὐκ ἔμενε στέφανος.
book 153.1.1 Πρόσθε μοι Ἀρχεάδης ἐθλίβετο· νῦν δὲ τάλαιναν
book 153.1.2 οὐδ’ ὅσσον παίζων εἰς ἔμ’ ἐπιστρέφεται.
book 153.1.3 οὐδ’ ὁ μελιχρὸς Ἔρως ἀεὶ γλυκύς· ἀλλ’ ἀνιήσας
book 153 πολλάκις ἡδίων γίνετ’ ἐρῶσι θεός.
book 161.1.1 Δόρκιον ἡ φιλέφηβος ἐπίσταται ὡς ἁπαλὸς παῖς
book 161.1.2 ἔσθαι πανδήμου Κύπριδος ὠκὺ βέλος
book 161.1.3 ἵμερον ἀστράπτουσα κατ’ ὄμματος, ἠδ’ ὑπὲρ ὤμων
book 161.1.4 σὺν πετάσῳ, γυμνὸν μηρὸν ἔφαινε χλαμύς.
book 162.1.1 Οὔπω τοξοφορῶν οὐδ’ ὥριος, ἀλλὰ νεογνὸς
book 162.1.2 οὑμὸς Ἔρως παρὰ τὴν Κύπριν ὑποστρέφεται
book 162.1.3 δέλτον ἔχων χρυσέην· τὰ Φιλοκράτεος δὲ Διύλλου
book 162.1.4 τραυλίζει ψυχῇ φίλτρα κατ’ Ἀντιγένους.
book 163.1.1 Εὗρεν Ἔρως τι καλῷ μῖξαι καλόν, οὐχὶ μάραγδον
book 163.1.2 χρυσῷ, ὃ μήτ’ ἀνθεῖ μήτε γένοιτ’ ἐν ἴσῳ,
book 163.1.3 οὐδ’ ἐλέφαντ’ ἐβένῳ, λευκῷ μέλαν, ἀλλὰ Κλέανδρον
book 163.1.4 Εὐβιότῳ, πειθοῦς ἄνθεα καὶ φιλίης.
book 166.1.1 Τοῦθ’, ὅ τι μοι λοιπὸν ψυχῆς, ὅ τι δήποτ’, Ἔρωτες,
book 166.1.2 τοῦτό γ’ ἔχειν πρὸς θεῶν ἡσυχίην ἄφετε·
book 166.1.3 εἰ μή, ναὶ τόξοις μὴ βάλλετέ μ’, ἀλλὰ κεραυνοῖς,
book 166.1.4 ναὶ πάντως τέφρην θέσθε με κἀνθρακιήν.
book 166.5.1 ναὶ ναὶ βάλλετ’, Ἔρωτες· ἐνεσκληκὼς γὰρ ἀνίαις
book 166.5.2 ὀξύτερον τούτων, εἴ γέ τι, βούλομ’ ἔχειν.
book 23.1.1 Ἰὼ παρέρπων, μικρόν, εἴ τι κἀγκονεῖς, ἄκουσον
book 23.1.2 τὰ Βότρυος περισσὰ δῆτα κήδη,
book 23.1.3 ὃς πρέσβυς ὀγδώκοντ’ ἐτῶν τὸν ἐκ νέων ἔθαψεν
book 23.1.4 ἤδη τι τέχνᾳ καὶ σοφὸν λέγοντα.
book 23.5.1 φεῦ τὸν τεκόντα, φεῦ δὲ καὶ σέ, Βότρυος φίλος παῖ,
book 23.5.2 ὅσων ἄμοιρος ἡδονῶν ἀπώλευ.
book 68.1 Κύπριδος ἅδ’ εἰκών· φέρ’ ἰδώμεθα, μὴ Βερενίκας·
book 68 διστάζω, ποτέρᾳ φῇ τις ὁμοιοτέραν.
book 120.1.1 Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφὰν
book 120.1.2 Λύσιππος· τίν’ ὁδὶ χαλκὸς ἔχει δύναμιν.
book 120.1.3 αὐδάσοντι δ’ ἔοικεν ὁ χάλκεος ἐς Δία λεύσσων·
book 120

Eulogikon public reading copy · View original HTML at eulogikon.org

„Γᾶν ὑπ’ ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ’ Ὄλυμπον ἔχε.“

Eulogikon public reading copy · View original HTML at eulogikon.org